TEZAUR LITURGIC

20 IULIE

HARALAMBOS BOUSIA

# ACATISTUL SF.PROROC ILIE TESVITEANUL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΠΡΟΦΗΤΗΝ ΗΛΙΟΥ ΤΟΝ ΘΕΣΒΙΤΗΝ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Κοντάκιον. Ήχος πλ. δ'. Τη Υπερμάχω.

Τον θεασάμενον Χριστού την Μεταμόρφωσιν εν Θαβωρίω, ον λεπτήν ως αύραν πρότερον διησθάνθη εν Χωρήβ, νυν τοις ύμνων ρόδοις ουρανών τον διφρηλάτην καταστέψωμεν, Ηλιού, τον θαυμασίων μέγαν πρόξενον, ανακράζοντες˙ Χαίροις, Μέροψ ισάγγελε.

Οι Οίκοι.

Άγγελος λαμπροφόρος μετά σώματος ώφθης, προφήτα Ηλιού, εν τω κόσμω˙ ανομούντα λαόν Ισραήλ συ γαρ θείω ζήλω και σοφοίς ρήμασι διήλεγξας, φωτόλαμπρε, και έπιθες πιστούς κραυγάζειν˙

Χαίρε, ο στύλος της ευσεβείας,
Χαίρε, ο φίλος της ευσπλαγχνίας˙
Χαίρε, του λαού του Θεού ο διδάσκαλος,
Χαίρε, της Χριστού παρουσίας προάγγελος˙
Χαίρε, άγγελε επίγειε και ουράνιε βροτέ,

Χαίρε, άνθρωπε ισάγγελε, του Κυρίου εκλεκτέ˙
Χαίρε, του Αχαάβ ο οξύτατος πέλεκυς,
Χαίρε ο του Σωβάκ ιερώτατος άσταχυς˙
Χαίρε, πληγή ειδώλων ανίατος˙
Χαίρε, δι’ ου ο Σωτήρ εμηνύθη,
Χαίρε, δι’ ου ο Σατάν κατεπόθη˙
Χαίροις, Μέροψ ισάγγελε.

Βλάστημα θείον Θέσβης, ιερείς δεικνυούσης αρίστους τω λαώ του Κυρίου, εκ φυλής Ααρών, Ηλιού, παμφαής ως άλλος και λαμπρός ήλιος ανέτειλας την άγνοιαν σκεδάζων των αεί βοώντων˙

Αλληλούϊα.

Γάνυνται ευσεβούντες συν Σωβάκ των πατρί σου επί τη ση πανσέπτω γεννήσει˙ εν αυτή γαρ Θεού φωταυγείς προσηγόρευόν σε, Ηλιού, άγγελοι και πυρ εσθίειν άγιον εδίδουν σοι, μεθ’ ων βοώμεν˙

Χαίρε, η λύρα της ευνομίας,
Χαίρε, κινύρα της ευσεβείας˙
Χαίρε, Προφητών του Κυρίου ακρώρεια,
Χαίρε, αρετών θεϊκών το απαύγασμα˙
Χαίρε, ότι επεχόρευσε θεία χάρις επί σοι,
Χαίρε, ότι πλάνη πέπαυται δια σου ειδωλική˙
Χαίρε, ακτημοσύνης και ασκήσεως φάρος,
Χαίρε, αγιωσύνης τηλαυγέστατος λύχνος˙
Χαίρε, κανών νηστείας και νήψεως,
Χαίρε, εικών ευχής αχειρότευκτος˙
Χαίρε, δι’ ου ευσεβείς κρατιούνται,

Χαίρε, δι' ου ασεβείς πυρπολούνται˙
Χαίροις, Μέροψ ισάγγελε.

Δύναμην και την δόξαν του Χριστού προφητεύων θεάσασθαι Αυτόν ηξιώθης μετ' αιώνος οκτώ εν Θαβώρ, Ηλιού, αστέκτου του φωτός μέτοχε˙ διο σε μακαρίζοντες φωνούμεν ευχαρίστω γλώττη

Αλληλούϊα.

Είργεις τας ομβροτόκους ουρανών συ νεφέλας ενθέω πυρακτούμενος ζήλω και ανόμων εξήρανας γην του καρπούς μη φέρειν, Ηλιού πάμφωτε˙ διο σοι ανακράζομεν θαυμάζοντες σην πίστιν ούτω˙

Χαίρε, ο όμβρος της ευκρασίας,
Χαίρε, ο τόμος θεοσεβείας˙
Χαίρε, ουρανών έχων κλείς υποχείριον,
Χαίρε, χοϊκών και αΰλων μεθόριον˙
Χαίρε, πύργε αρραγέστατε της ενθέρμου προσευχής,
Χαίρε, στύλε αδιάσειστε φιλοθέου βιοτής˙
Χαίρε, ο τους ανόμους βασιλείς στιγματίσας,
Χαίρε, ο ψυχοφθόρους εντολάς αθετήσας˙
Χαίρε, δι' ου και νέφη συστέλλονται,
Χαίρε, δι' ου η πλάνη κατήργηται˙
Χαίρε, σφραγίς εν Κυρίω αγνείας,
Χαίρε, κρηπίς σταθηρά ευσπλαγχνίας˙
Χαίροις, Μέροψ ισάγγελε.

Ζόφον της παρανόμου Αχαάβ πολιτείας, του άνακτος, εσκέδασας, πάτερ, τω φωτί σων σοφών διδαχών και ελέγχου

λόγων, Ηλιού˙ όθεν σου τοις ρήμασι πειθόμενοι λαός ο του Θεού εβόα

Αλληλούϊα.

Ήσχυνας της απάτης ιερείς τους εις Βάαλ προφέροντας ανόμους θυσίας τη θερμή σου ευχή προς Θεόν και αυτούς πλανώντας τον λαόν έσφαξας παρά χειμάρρουν, δίκαιε, Κισσώνα˙ όθεν σοι βοώμεν˙

Χαίρε, ο ένθεον έχων ζήλον,
Χαίρε, ο πάμφωτον φέρων στέφος˙
Χαίρε, λατρευόντων τον Βάαλ κατάπτωσις,
Χαίρε, ιερέων ανόμων η κάθαρσις˙
Χαίρε, όρος εις Καρμήλιον ο υψόθεν πυρ λαβών,
Χαίρε, λώρος ο ομφάλιος ευσεβούντων προς Θεόν˙
Χαίρε, ότι ελέγχεις διδαχάς ψυχοκτόνους,
Χαίρε, ότι εκφαίνεις αρετάς θεοσδότους˙
Χαίρε, πυρός δικαίου το έναυσμα,
Χαίρε, σκηπτός απάτης και σύντριμμα˙
Χαίρε, λαμπτήρ βιοτής της αγήρω,
Χαίρε, φωστήρ ευσπλαγχνίας της άνω˙
Χαίροις, Μέροψ ισάγγελε.
Θαύματος ώ του ξένου! Εις Καρμήλιον όρος κατέδειξας την δύναμιν πάσι, θεοφόρε, του μόνου Θεού, ουρανόθεν φλόγα σοι πυρός στέλλοντος, τον βουν σου κατακαίουσαν και πείθουσαν βροτούς κραυγάζειν

Αλληλούϊα.

Ίνδαλμα ευσεβείας, ευσπλαγχνίας, δικαίου και βίου ακραιφνούς ανεδείχθης, Ηλιού, εραστά προσευχής, ο αγγέλων βίον εν φθαρτώ σώματι μιμούμενος και άπαντας κραυγάζειν σοι διδάσκων ούτω˙

Χαίρε, των θείων ο υποφήτης,
Χαίρε, την άνω ο μυστηπόλος˙
Χαίρε, ο ξηραίνων την γην δια λόγων σου,
Χαίρε, ο πυρσεύων την γην δι' ακτίνων σου˙
Χαίρε, τίμιον διάδημα εναρέτου βιοτής,
Χαίρε, πάμφωτον αμάρυγμα αγωγής ασκητικής˙
Χαίρε, ξίφος εκτέμνον των παθών τας αιτίας,
Χαίρε, μήκος και πλάτος της ενθέου σοφίας˙
Χαίρε, βαλβίς καλού αγωνίσματος,
Χαίρε, παγίς του πλάνου αλάστορος˙
Χαίρε, ο κήρυξ Θεού των φθεγμάτων,
Χαίρε, σάλπιξ αρίστων δογμάτων˙
Χαίροις, Μέροψ ισάγγελε.

Κάμπτει τον σον ο Κτίστης πυρακτούμενον ζήλον και πέμπει σε προς χήρα γυναίκα διατρέφεσθαι εις Σαρεφθά υπ' αυτής˙ διο σε δυσωπώ˙ θρέψον μου ψυχήν σεπτοίς χαρίσμασι και άνοιξόν μοι στόμα κράζειν

Αλληλούϊα.

Λόγω της χάριτός σου τον υιόν τον της χήρας τον ήδη, Ηλιού, τεθνεώτα ανεζώωσας˙ όθεν ημείς οι νεκροί τοις

έργοις της φθοράς κράζομεν˙ ευχαίς σου, πάντας, έγειρον του ψάλλειν σοι φωναίς αισίαις˙

Χαίρε, ανδρείας ο φυτοκόμος,
Χαίρε, κακίας ο ριζοτόμος˙
Χαίρε, γυναικός ο ζωώσας το βλάστημα,
Χαίρε, Αχαάβ ο ελέγξας ολίσθημα˙
Χαίρε, πάτερ προφητόφθογγε, αληθείας λατρευτά,
Χαίρε, άνερ ηλιόφωτε, ευσεβείας εραστά˙
Χαίρε, ότι την δόξαν της Τριάδος δεικνύεις,
Χαίρε, ότι την μήνιν Ιεζάβελ διάκεις˙
Χαίρε, υιού της χήρας η έγερσις,
Χαίρε, πολλού ελαίου η έκβλυσις˙
Χαίρε, καμψάκην κενόν ο πληρώσας,
Χαίρε, δοχείον αλεύρου ο πλήσας˙
Χαίροις Μέροψ ισάγγελε.
Μένων εν τοις σπηλαίοις του Χορράθ του χειμάρρου στρουθίον εστιάτορα έσχες, τον δι' άρτου εκτρέφοντα σε εν λιμού τοις χρόνοις, Ηλιού ένδοξε˙ διο συ τους λιμώττοντας ικέτας σου κραυγάζειν πείθεις

Αλληλούϊα.

Νεύσει της Ιεζάβελ Ναβουθαί εις των λίθων παρέδωκαν βολάς οι εκείνης ψευδομάρτυρες πλην, Ηλιού, επιγνούς τον φόνον συ τρανώς ήλεγξας αυτήν και πάντας, δίκαιε, εδίξαξας βοάν σοι ταύτα˙

Χαίρε, δικαίου ο ποδηγέτης,
Χαίρε, αδίκου ο αναιρέτης˙

Χαίρε, των σκανδάλων ανάκτων η μάχαιρα,
Χαίρε, της πλησίον αγάπης θησαύρισμα˙
Χαίρε, άμπελον ουράνιον ο φυτεύων επί γης,
Χαίρε, πάνσεπτον υπόδειγμα ασιγήτου προσευχής˙
Χαίρε, ότι σοις λόγοις μιαρούς ερεθίζεις,
Χαίρε, ότι σοις τρόποις Ιεζάβελ οργίζεις˙
Χαίρε, αστήρ καλών φωτοπάροχε,
Χαίρε, λουτήρ καθάρσεως πρόξενε˙
Χαίρε, η πτώσις δεινή Οχοζίου,
Χαίρε, η τρώσις Βελίαρ του πλάνου˙
Χαίροις, Μέροψ ισάγγελε.

Ξένον πολλών επώφθη αυτουργός, θεορρήμον προφήτα Ηλιού, και θαυμάτων πολυτρόπων αείρρους πηγή˙ όθεν πίστει, πάντες, αρραγεί σπεύδοντες, ημείς, ταις ικεσίαις σου τω δόντι σοι ισχύν βοώμεν˙

Αλληλούϊα.

Οίστρος εκδειματώσας φυγαδεύει γυναίου δεσμείν σε τον λαχόντα και λύειν την επίβλυσιν όμβρων, σεπτέ Ηλιού, αόκνου προσευχής μέλαθρον εις σπήλαιον δυσπρόσιτον ερήμου˙ όθεν σοι βοώμεν˙

Χαίρε, η ψαίσις της αδικίας,
Χαίρε, άρσις της ανομβρίας˙
Χαίρε, αηδών προσευχής καλλικέλαδος,
Χαίρε, ροδεών γενναιότητος ήδιστος˙
Χαίρε, νόμος ιερώτατος θεωρίας ευαγούς,
Χαίρε, φάρος παμφαέστατος σωφροσύνης αληθούς˙
Χαίρε, ότι τους όμβρους συγκρατείς εις τα ύψη,

Χαίρε, ότι τον φθόνον και το μίσος συντρίβεις˙
Χαίρε, βροχή διψώσαν γην άρδουσα,
Χαίρε, βροντή ασεβείς καταπλήττουσα˙
Χαίρε, κναφεύ των παθών του βορβόρου,
Χαίρε, τομεύ της απάτης του πλάνου˙
Χαίροις, Μέροψ ισάγγελε.

Πάτερ σημειοφόρε, μηλωτή σου τη θεία διέσχισας τον ρουν Ιορδάνου, ίνα πάσιν ημίν, Ηλιού, καταδείξης χάριν, ην Θεός δέδωκε τη ση πανοσιότητι, και πίθης προς Αυτόν κραυγάζειν

Αλληλούϊα.

Ρήματι τω σεπτώ σου υετίζοντα νέφη συνέστειλας, προφήτα γενναίε˙ διο σε δυσωπώ, Ηλιού, μετανοίας πύλας σωστικάς άνοιξον καμοί και κατανύξεως βροχήν μοι πέμψον του βοάν σοι˙

Χαίρε, αγίας ζωής πυξίον,
Χαίρε, αόκνου ευχής ταμείον˙
Χαίρε, διφρηλάτα αιθέρων μακάριε,
Χαίρε, ιχνηλάτα δικαίου σοφώτατε˙
Χαίρε, ότι Κτίστου άρρητον είδες δόξαν εν Θαβώρ,
Χαίρε, ότι τούτον έγνωκας ώσπερ αύραν εν Χωρήβ˙
Χαίρε, ότι στρουθίον εστιάτορα έσχες,
Χαίρε, ότι το μένος Ιεζάβελ παρείδες˙
Χαίρε, πυξίς ανθρώπων του πνεύματος,
Χαίρε, βολίς σοφίας της κρείττονος˙
Χαίρε, εκ πέτρας ο μέλι συνάγων,
Χαίρε, εκ βρέφους Θεώ ο αρέσκων˙

Χαίροις, Μέροψ ισάγγελε.
Σάρκα φορών γηΐνην τον σον νουν αενάως επτέρους, Ηλιού, προς τον Κτίστην˙ διο σε και πυρός προς Θεόν άρμα γήθεν, προφητών πρόβολε, μετήνεγκεν και έασε σεμνόν Ελισσαιέ κραυγάζειν

Αλληλούϊα.

Τόμος θεοσεβείας, Ηλιού, και σοφίας χρυσόδετος της άνω επώφθης˙ όθεν, πάντες, της σης βιοτής μελετώντες όντως το σεμνόν σπεύδομεν τοις ύμνοις καταστέψαι σε και πόθω σοι βοήσαι ταύτα˙

Χαίρε, Θεσβίτα πνευματοφόρε,
Χαίρε, προφήτα ουρανοδρόμε˙
Χαίρε, εν πυρίνω τεθρίππω φερόμενος,
Χαίρε, εν ερήμω Χορράθ ο κρυπτόμενος˙
Χαίρε, τίμιε διδάσκαλε του σεπτού Ε λισσαιέ,
Χαίρε, εύψυχε υπέρμαχε του δικαίου Ναβουθαί˙
Χαίρε, ο μηλωτή σου Ιορδάνου ρουν σχίσας,
Χαίρε, ο δι' ευχής σου πλάσαν γην επομβρίσας˙
Χαίρε, Χριστού ευκλείας συμμέτοχος,
Χαίρε, Αυτού της δόξης ο σύσκηνος˙
Χαίρε, σεπτέ ζηλωτά των αρρήτων,
Χαίρε, κλεινέ μιμητά των αγγέλων˙
Χαίροις, Μέροψ ισάγγελε.
Ύμνοις θεοσεβέσι και τερπναίς μελωδίαις τιμώμεν την αγίαν σου μνήμην, εκλεκτέ του Θεού, Ηλιού, ο ιδών την

δόξαν την Αυτού άρρητον, ην πάντας καταξίωσον θεάσασθαι τουν νυν βοώντας

Αλληλούϊα.

Φάρον δικαιοσύνης και φωτόλαμπρον οίκον απείρου ευσπλαγχνίας και θάρρους έγνωμέν σε, σοφέ Ηλιού˙ όθεν σοι βοώμεν εν σπουδή˙ πρόφθασον και δίνην καταπράϋνον οργής των φωνασκούντων ούτω˙

Χαίρε, το φέγγος της ευψυχίας,
Χαίρε, το άνθος της ευτολμίας˙
Χαίρε, Ναβουθαί των φονένων ο έλεγχος,
Χαίρε, ιερέ υποφήτα της χάριτος˙
Χαίρε, γλώσσα θεοκίνητος στηλιτεύουσα κακούς,
Χαίρε, όμμα το ανύστακτον επιβλέπον τους πιστούς˙
Χαίρε, ότι συστέλλεις ουρανών τας  νεφέλας,
Χαίρε, ότι ξηραίνεις της αρούρης τας νάπας˙
Χαίρε, χορού δικαίων ο πρώταρχος,
Χαίρε, λαού κριτής ο αδέκαστος˙
Χαίρε, κανών διαυγής ασκουμένων,
Χαίρε λειμών ευθαλής μονοτρόπων˙
Χαίροις, Μέροψ ισάγγελε.

Χάριτος ουρανίου ανεξάντλητον φρέαρ, προς δόμους ουρανών ανελήφθης επιβαίνων, θεόπτα σεπτέ, πυριμόρφου όντως, Ηλιού, άρματος˙ διο σε μακαρίζοντες υμνούμεν τον Χριστόν βοώντες˙

Αλληλούϊα.

Ψάλλοντες και αινούντες ως προφήτην σε μέγαν και πρόδρομον δευτέρας Κυρίου παρουσίας, κλυτέ Ηλιού, τα θαυμάσιά σου εν ωδαίς μέλπομεν βοώντες˙ πάτερ, άκουσον ημών των σοι βοώντων ούτω˙

Χαίρε, προφήτα Θεού γενναίε,
Χαίρε, θεόπτα, δικαίου λύχνε˙
Χαίρε, ευνομούντων φωστήρ ο αείφωτος,
Χαίρε, ανομούντων ο πέλυξ ο δίστομος˙
Χαίρε, τύπος και υπόδειγμα θεολήπτων ασκητών,
Χαίρε, φάρος τηλαυγέστατος των μεγάλων προφητών˙
Χαίρε, της Εκκλησίας ο ασάλευτος πύργος,
Χαίρε, της αληθείας αρραγέστατον τείχος˙
Χαίρε, λαμπάς πιστούς η φωτίζουσα,
Χαίρε, ολκάς θαυμάτων η γέμουσα˙
Χαίρε, στερρός εδρασμός ευσπλαγχνίας,
Χαίρε, λαμπρός ζηλωτής της σοφίας˙
Χαίροις, Μέροψ ισάγγελε.
Ώ λαμπρέ διφρηλάτα ουρανών και επόπτα της δόξης, Ηλιού, του Κυρίου εν δεινή τους κειμένους σκιά αμαρτίας πάντας σαις αυγαίς φώτισον και δώρησαι μετάνοιαν πιστοίς τοις ευλαβώς βοώσιν

Αλληλούϊα.

Και αύθις το Κοντάκιον. Ήχος πλ. δ’. Τη Υπερμάχω.

Τον θεασάμενον Χριστού την Μεταμόρφωσιν εν Θαβωρίω, ον λεπτήν ως αύραν πρότερον διησθάνθη εν Χωρήβ, νυν

τοις ύμνων ρόδοις ουρανών τον διφρηλάτην καταστέψωμεν, Ηλιού, των θαυμασίων μέγαν πρόξενον, ανακράζοντες˙ Χαίροις Μέροψ ισάγγελε.

Δίστιχον.

Φωτός έμπλησον, Ηλιού, του αστέκτου
Χαραλάμπη ανακράζοντά σοι, Χαίρε.

